Badische Landesbibliothek Karlsruhe

Digitale Sammlung der Badischen Landesbibliothek Karlsruhe

# Oratio historica de initiis, causis et progressu Confessionis Augustanae et de vita ac laboribus M. Lutheri ...

Selnecker, Nikolaus

Ienae, 1592

[Griechischer Text]

urn:nbn:de:bsz:31-67808

Visual Library

# ΕΙΣ ΕΡΜΗΝΕΙΑΝ

ΚΑΙ ΕΞΗΓΗΣΙΝ ΤΗΣ ΟΥΡΑΝΙΗΣ ΟΜΟλογίας, τῆς ἀπὸ τοῦ τόπου, αὐγούστης, ὀνομαζομένης, πρὸς τοὺς νέους τῆς σωτηρίου ἀληθείας, πίστεως, διδασκαλίας, καὶ εὐσεβείας, φιλομαθῶς αἰτουμένους, τοῦ ΝΙΚΟΔΕΩ ΣΕΛΔΕΝΕΚΚΗΡΟΣ Νωρικογενοῦς: στίχοι.

ΦΕῦ, μελέτημω, σπουδῆ τε πονοῦσε, ἰόσοιο τύραννις
ὡς ἀναχαιτίζει, μαρτύρομαι νοσερός.
Πολλάκις ὃς δειλοῖς ἀνάκαρτ' ἐπικάρσε ἐθυμῶ
ῥεύμασιν, ἠδὲ κόπων τρύσκομαι αἰγανέαι.
Ἀλλὰ τί οὖν; οὐ κάρφει ἀπαλλάτιον κακὸν ὁρμὴν,
Καὶ σπουδῆς ἀκμὴν, πρᾶγμα, πόνον, κάθοδον.
Γινώσκω φύσεως φόρτον καὶ σφάλματα πολλὰ,
αἴτια παντοίων πάντοθι ὄντα κακῶν.
Γινώσκω δηγμούς τε, μάχας, βλωμοὺς, κακίας τε,
Γηράσκω τε τάλας τραύματα δεξάμενος.
Πήμασιν ἐξ ἐμέθεν, καὶ πήμασιν ἔνθα καὶ ἔνθα
Δυσμενέος, θνήσκω: ἀμφοτέρωθε φόβος.
Ἀλλ' ἐς ἐν διδαχῇ καὶ πίστει ἕρκος ὀδόντων,
ἡ σύνεσις κρείσσων χρήματος ἠδὲ βίου.
Ἡ πίστις, σύνεσίς τ' ἀγαθὴ πέλεταί τε μένει τε,
οὐκ ἔχθρας, ψεῦδος, στρεβλὰ, στροφάς τε τρέω.

Οὕνεκα νῦν πρὸς ἐγὼ αὖθις πόνου ἔργ' ἐπανήκω,
Πρὸς κεφάλαια τρέχων εὐθὺ παλιδρομέω,
Σπλαγχνισθεὶς γὰρ χριστὸς ἄναξ, χριστὸς φιλαληθὴς
οὐκ ἀπέφησε: πρόφρων ἐστὶν ἄκεσος ἐμοί.
Ἰατρὸς πάντων αἰεὶ αὐτάξιος ἄλλων
Χριστὸς ἀλεξίκακος, ζωὴ, ὁδός τε ἔφυ,

Δόξα

Δόξα χάρις τε θεοῦ υἱῷ ἡμῶν τε ἀδελφῷ
Πᾶν θεραπεύοντι τραῦμα, στέναγμα, νόσον.

Νῦν δ' Αὐγοῦστα λαβεῖν καὶ ἔχειν ἐν χερσὶν ἀρέσκει,
Πίστιος εἰλικρινοῦς αὐτίκα, κύρι' ἔπη.
αὐτάγε τῆς διδαχῆς ὀνομάζομεν ἄρθρα καὶ ἁρμοὺς
Τῆς πιστευθείσης, οὐδενὸς ὡς ἑτέρου.
αἵματι ἀσεβέων πολλῶν καὶ φροντίδι συχνῇ
ἐς ἀσφάλεια καλῶς ἔμμονος ἀντὶ κακῶν.
ἢ ἔφοροι, ἤγ' ἡγέμονες, κοσμήτορες ἁγνοὶ
Πνεύματι ἀτρέπτῳ συμμαχέουσι μέχρι.

Αἴθ' ὄφελον συμφράδμονες εἴησαν κατὰ θ' αὐτὰ
ἄρχοντες, χριστοῦ πρὸς κλέος ἀΐδιον.
αἰαῖ ὁποῖα ὁρᾷ Ἐκκλησία αἴλινα ἔργα,
ἡμᾶς εἰς ὄλεθρον φεῦ διχόνοια ἄγει.
ἀλλήλους γὰρ συνδούλους, ἀγνοοῦστέ ἀδελφοὺς
ἠδὲ φίλους ἄντην ἡδὺ λάλημμα καλεῖ,
οἴμοι ὄπισθεν ἔχει κατὰ νώτου γλῶσσα τι ἄλλο,
ἀντιλέγει, αὐτὴ καὶ περιπίπτει ὅλως.
Τοῦτο κακὸν κακὰ πάντα φέρει, κακὰ πλείονα οἴσοι,
οὐ θεὸς, οὐδὲ βροτοὺς πίστιν ἔχει στροβιλοῖς.

Ω θεὲ, μή σε λάθοι τῶνδ' αἴτιος ὅστις ἀπ' ἀρχῆς,
ἠδὲ διχοστασίας μή σε λάθοι γένεσις.
Τοῖα γὰρ οὐ μοῦνον χαρίτων καὶ πίστιος ἐχθροὶ
ῥέζουσιν, μύσται ἀλλὰ καὶ, ἠδ' ἱερεῖς,
οἱ ψυχῶν ταμίαι, λαμιάι καὶ λοιμὸς ἀναίδην,
ὡς ὄχλος μαθαρὸς νῦν παράδειγμα ἔχει.
Λουθῆρος μέγα ἕρκος, ἄναξ, μεγάλοιο προφήτης,
Μύθων καὶ ἔργων ῥήτορος οὔνομ' ἔχων,
Κὶ πιστὸς χριστοῦ δοῦλος καὶ ὑπείροχος ἄλλων,
ἄιθριος ἐν νεάτῳ πᾶσι βροτοῖσι χρόνῳ.

ἠλιάς

ἠλιάς, ἔφεδρος, διδαχῆς τεῖχός τε ἀκραιφνοῦς,
    Συστῆσαι, καὶ ἐς ἓν στήθε' ἄγειν δυνατὸς,
ἀντὶ κακῶν δόγμ' ἀντίθεοντι κακῶς προφερόντων
    αἰεὶ θυμώδης πρὸς κακὰ κέντρα λεών.
Τέθνη', οἴμοι, ἐν ἡμέρᾳ ἀειδοῦς ὁμονοίας,
    Φεῦ, ποῦ ὁμοφροσύνης, φεῦ, ποῦ ἀπέπτη ἔρως;
Φεῦ ποῦ ἀπέπτη ἔπος καὶ ὄνομα τῆς ὁμονοίας,
    Πρᾶγμα γὰρ οὐκ εἴδω, οὐ τύπον, οὐδὲ ὄναρ.

Δεύτερος ἦν κύκνου καὶ ἀηδόνος ἆσμα Φίλιππος,
    Μουσῶν καὶ χαρίτων δόξα, φίλημα, κλέος.
ὃς κατὰ Λουθήρου νοῦν καὶ χέρα, ἄρθρα ἔγραψε,
    Καίσαρι προσκήπτοις χερσὶ δοθέντα πάρος.
ἄντιθ' ἃ συζυγίας ζώνη δεσμός θ' ὁμονοίας
    ὡς ὑποστηρίζει λοιπὰ ἐρείπι' ἔδος.
Οἷς συζευγνομέναι τε κατηχήσεις, κεφάλαια
    Σμαλχαλδαῖα, βίβλων ἄγκυρα, κῦρος, ὁδὸς,
Γραπτύος ὡς καὶ μείζονος, ὡς καὶ ἐλάττονος, ὥσπερ
    ὀρθοτάτης στάθμης, ὀρθοτάτου κανόνος,
Σήμερον ἄμμα πέλονται, ἐν ᾧ Ἐκκλησιά ἐστι,
    ᾧ δ' ἵστησι μόλις νῦν ὁμόνοια μικρὸν.
ἄσβεστον καὶ ὅμως ἔχομεν μένος, ὅττι φανείη,
    ῥῆμα θεοῦ, θυρεὸν πίστιος ὀξύτατον.
ᾇ ἀπόλοιτο ἅπας, ὅστις τόδε ἄμμα διαλύσει,
    αἴσιμον ἦμαρ ἔχων, εἰς ἀΐδαο ῥέπων.
Λουθήροιο μένει διδαχὴ, ἁγίη θ' ὁμόνοια,
    ἠδὲ μελαγχθόνιος γλῶσσα ἄνευ ἀπάτης.
Καὶ νόμιμον, καὶ βέλτιστον τὸ πρῶτον ἔνεστι
    Τεύχεσι δημοσίοις: τοῖα δὲ οὐκ ἴδια.
Λουθήρου ἀγαθός γε μαθητὴς ἐστὶ Φίλιππος,
    εἰ δ' ἄλλος πέλεται, οὐκ ἀγαθὸς τέλεται.

Σήμερον ὡς νῦν ψεύδονται οἱ δειπνοσοφισταί,
ψευδολόγοι, ἐχθροί, θηρία τ' ἄλλα, λύκοι.

Ταῦτα δὲ μέν τοι ταῦτα. Ἐάσομεν οὖνγε ἀχώρας,
φθείρουσιν καλοὺς ἔργα βέβηλα τρόπους.
Δώσομεν εἰσαῦθις κεφάλαια χρήσιμα παισίν.
ἄσματ' ἐπουρανίων θεῖα καὶ ἁγνὰ λόγων
Δεῦτε φίλοι παῖδες, κόσμοιο θέμεθλα, στύλοι τε.
Καὶ ὑγιαινόντων δόγματ' ἐρᾶτε λόγων.

Χριστὲ φάος μερόπων, πυρόεις στύλε Σελδενεκῆρος.
Ψυχῇ πλαζομένῃ νιῶ δι' ἐρήμου ἁλός.
Σχὲς Φαραὼ κακόμηχαν, ἀναιδέας ἐργοδιώκτας,
Εἰρήνην ἡμῖν κουροτρόφον δίδοθι.
ἀργαλεόν πόλεμον, λοιμὸν, λιμόν τε νόσους τε
οὐ δόθι: αἱρετικῶν ὕπνια ὦθε λόγων.
ἡμετέρας σῶσόν τε πόλεις ἱεροῖς ἐπὶ βωμοῖς
ἐν διδαχῇ, συνέσει, πίστει εἰλικρινεῖ.
Σῶσον Χριστ' ἡμᾶς σωτὴρ σύ γε μοῦνος ὑπάρχων,
ὥστε κλύειν ὕμνοις αὖθι σ' ἐν ἡμετέροις.
ἠδ' ὅταν, ὦ, ἐθέλεις, λῦσον χθονίων ἀπὸ δεσμῶν,
Καὶ με χοροστασίην τάξον ἐς οὐρανίην.

RED-